Τόπους [Γ1 ff.] ἢ τοὺς Θρασυμάχου Ὑπερβάλλοντας ἔχειν προχείρους οὐδὲν τῶν χρησίμων διαπραττόμενον, ἀλλὰ τὴν κενὴν δόξαν ἐκ τῆς ἀγορᾶς καὶ τῶν θεάτρων εἰς τὰ συμπόσια μετάγοντα.

7a. PHILODEM. Rhet. II 49 [Suppl. ed. Sudhaus Lps. 1895 S. 42ff.] καὶ Μητρόδωρος [fr. 20ff. A. Körte *Jahrb. f. cl. Phil.* Suppl. 17 (1880) 548] δὲ ἐν τῶι πρώτωι Περὶ ποημάτων ἱκανῶς ἔοικεν παρεμφαίνειν τὸ τὴν σοφιστικὴν ῥητορικὴν τέχνην ὑπάρχειν ... εἰπ⟨εῖν⟩ μὲν ἐ⟨ν π⟩λήθει πε⟨ρὶ τ⟩ῶν πλήθ⟨ει⟩ χρησίμων ἱκαν⟨όν, τ⟩ὴν δὲ Θρασυμάχου τέ⟩χνην ἢ ἄ⟨λλου⟩ ὁτο⟨υδήποτ'⟩ αὐτῶν οὐ μ⟨αθό⟩ντας ... Θρασύμαχον καὶ ἄλλους οὐκ ὀλίγους τῶν δοκούντων τὰς τοιαύτας ἔχειν λόγων πολιτικῶν ἢ ῥητορικῶν οὐθ⟨έν, ὧ⟩ν φ⟨α⟩σιν ἔχειν τὰς τέχνας, συντελοῦντας.

## AUS UNBESTIMMTER SCHRIFT

8. HERMIAS z. Plat. Phaedr. p. 239, 21 Couvr. [zu σθένος p. 267c s. B 6] ἔγραψεν [Thr.] ἐν λόγωι ἑαυτοῦ τοιοῦτόν τι, ὅτι οἱ θεοὶ οὐχ ὁρῶσι τὰ ἀνθρώπινα· οὐ γὰρ ἂν τὸ μέγιστον τῶν ἐν ἀνθρώποις ἀγαθῶν παρεῖδον τὴν δικαιοσύνην· ὁρῶμεν γὰρ τοὺς ἀνθρώπους ταύτηι μὴ χρωμένους.

---

# 86 [79]. HIPPIAS

## A. LEBEN UND LEHRE

1. SUID. Ἱππίας Διοπείθους Ἠλεῖος, σοφιστὴς καὶ φιλόσοφος, μαθητὴς Ἡγησιδάμου, ὃς τέλος ὡρίζετο τὴν αὐτάρκειαν. ἔγραψε πολλά.

2. PHILOSTRAT. V. Soph. I 11, 1ff. Ἱ. δὲ ὁ σοφιστὴς ὁ Ἠλεῖος τὸ μὲν μνημονικὸν οὕτω τι καὶ γηράσκων ἔρρωτο, ὡς καὶ πεντήκοντα ὀνομάτων ἀκούσας ἅπαξ ἀπομνημονεύειν αὐτὰ καθ' ἣν ἤκουσε τάξιν, ἐσήγετο δὲ ἐς τὰς διαλέξεις γεωμετρίαν, ἀστρονομίαν, μουσικήν, ῥυθμούς· (2) διελέγετο δὲ καὶ περὶ ζωγραφίας καὶ περὶ ἀγαλματοποιίας· (3) ταῦτα ἑτέρωθι· ἐν Λακεδαίμονι δὲ γένη τε διήιει πόλεων (?) καὶ ἀποικίας καὶ ἔργα, ἐπειδὴ οἱ Λακεδαιμόνιοι διὰ τὸ

---

8. Die Götter haben das menschliche *Treiben* nicht im Auge; denn sonst hätten sie nicht das größte unter den Gütern der Menschen außer acht gelassen, die Gerechtigkeit; denn wir sehen die Menschen diese nicht anwenden.

---

4ff. Das meiste ist von Sudhaus ergänzt 16ff. vgl. Nestle *Philol.* 67 (1908) 559 22 Ἡγησιδάμου] unbekannt; vgl. Ἀγησίδαμος I 446, 17: Ἱπποδάμου [s. c. 39] Apelt *Beitr. z. Gesch. d. gr. Phil.* S. 382 αὐτάρκειαν] aus A 12 herausgesponnen. Vgl. auch Norden *Herm.* 40 (1905) 523 24 Quelle A 11 (unten II 329, 2) 28 καὶ πόλεων ἀποικίας verm. Diels; vgl. II 328, 38. 39: ἡρώων st. πόλεων Wendland

βούλεσθαι ἄρχειν τῆι ἰδέαι ταύτηι ἔχαιρον. (4) ἔστιν δὲ αὐτῶι καὶ Τρωικὸς διάλογος [B 5], οὗ λόγος· ὁ Νέστωρ ἐν Τροίαι ἁλούσηι ὑποτίθεται Νεοπτολέμωι τῶι Ἀχιλλέως, ἃ χρὴ ἐπιτηδεύοντα ἄνδρα ἀγαθὸν φαίνεσθαι. (5) πλεῖστα δὲ Ἑλλήνων πρεσβεύσας ὑπὲρ τῆς Ἤλιδος οὐδαμοῦ κατέλυσε τὴν ἑαυτοῦ δόξαν δημηγορῶν τε καὶ διαλεγόμενος, ἀλλὰ καὶ χρήματα πλεῖστα ἐξέλεξε καὶ φυλαῖς ἐνεγράφη πόλεων μικρῶν τε καὶ μειζόνων. (6) παρῆλθε καὶ εἰς τὴν Ἰνυκὸν ὑπὲρ χρημάτων, τὸ δὲ πολίχνιον τοῦτο Σικελικοί εἰσιν, οὓς ὁ Πλάτων ⟨ἐν⟩ τῶι Γοργίαι ἐπισκώπτει. (7) εὐδοκιμῶν δὲ καὶ τὸν ἄλλον χρόνον ἔθελγε τὴν Ἑλλάδα ἐν Ὀλυμπίαι λόγοις ποικίλοις καὶ πεφροντισμένοις εὖ. (8) ἡρμήνευε δὲ οὐκ ἐλλιπῶς ἀλλὰ περιττῶς καὶ κατὰ φύσιν, ἐς ὀλίγα καταφεύγων τῶν ἐκ ποιητικῆς ὀνόματα.

3. [Plut.] Vit. x or. 4 p. 838 A ἐγένετο δ' αὐτῶι [Isokrates] καὶ παῖς Ἀφαρεὺς πρεσβύτηι ὄντι ἐκ Πλαθάνης τῆς Ἱππίου τοῦ ῥήτορος ποιητός, τῶν δὲ τῆς γυναικὸς τριῶν παίδων ὁ νεώτατος. 839 B καὶ νέον μὲν ὄντα μὴ γῆμαι, γηράσαντα δ' ἑταίραι συνεῖναι ἧι ὄνομα ἦν Λαγίσκη . . . ἔπειτα Πλαθάνην τὴν Ἱππίου τοῦ ῥήτορος γυναῖκα ἠγάγετο τρεῖς παῖδας ἔχουσαν, ὧν τὸν Ἀφαρέα, ὡς προείρηται, ἐποιήσατο. Harpocr. Ἀφαρεύς. οὗτος Ἱππίου μὲν ἦν υἱός, ἐνομίζετο δὲ Ἰσοκράτους. Zosim. V. Isocr. p. 253, 4 Westerm. γυναῖκα δ' ἠγάγετο Πλαθάνην τινά, Ἱππίου τοῦ ῥήτορος ἀπογεννωμένην.

4. Plato Apol. 19 E καὶ τοῦτό γέ μοι δοκεῖ καλὸν εἶναι, εἴ τις οἷός τ' εἴη παιδεύειν ἀνθρώπους ὥσπερ Γοργίας τε ὁ Λεοντῖνος καὶ Πρόδικος ὁ Κεῖος καὶ Ἱ. ὁ Ἠλεῖος. Vgl. 84 A 4.

5. Athen. v 218 c ὁ δὲ Πλάτων καὶ τὸν Ἠλεῖον Ἱππίαν συμπαρόντα ποιεῖ [ἐν] τῶι Πρωταγόραι [vgl. C 1] μετά τινων ἰδίων πολιτῶν, οὓς οὐκ εἰκὸς ἐν Ἀθήναις ἀσφαλῶς διατρίβειν πρὸ τοῦ τὰς ἐνιαυσίας ἐπὶ Ἰσάρχου [τοῦ] Ἐλαφηβολιῶνος [423] συντελεσθῆναι σπονδάς. Vgl. 80 A 11.

5a. Xenoph. Symp. 4, 62 [s. oben 84 A 4a] οἶδα μέν, ἔφη, σε [Antisthenes] Καλλίαν τουτονὶ προαγωγεύσαντα τῶι σοφῶι Προδίκωι . . ., οἶδα δέ σε Ἱππίαι τῶι Ἠλείωι, παρ' οὗ οὗτος καὶ τὸ μνημονικὸν ἔμαθεν.

6. Plato Hipp. mai. 281 A [Sokr., Hipp.] Ἱππίας ὁ καλός τε καὶ σοφός, ὡς διὰ χρόνου ἡμῖν κατῆρας εἰς τὰς Ἀθήνας. — Οὐ γὰρ σχολή, ὦ Σώκρατες. ἡ γὰρ Ἦλις ὅταν τι δέηται διαπράξασθαι πρός τινα τῶν πόλεων, ἀεὶ ἐπὶ πρῶτον ἐμὲ ἔρχεται τῶν πολιτῶν αἱρουμένη πρεσβευτήν, ἡγουμένη δικαστὴν καὶ ἄγγελον ἱκανώτατον εἶναι τῶν λόγων, οἳ ἂν παρὰ τῶν πόλεων ἑκάστων λέγωνται. πολλάκις μὲν οὖν καὶ εἰς ἄλλας πόλεις ἐπρέσβευσα, πλεῖστα δὲ καὶ περὶ πλείστων καὶ μεγίστων εἰς τὴν Λακεδαίμονα· διὸ δή, ὃ σὺ ἐρωτᾶις, οὐ θαμίζω εἰς τούσδε τοὺς τόπους.

7. — — 282 D E [Hippias spricht] ἀφικόμενος δέ ποτε εἰς Σικελίαν Πρωταγόρου [s. 80 A 9] αὐτόθι ἐπιδημοῦντος καὶ εὐδοκιμοῦντος καὶ πρεσβυτέρου

---

2 οὗ Diels: οὐ Hss. vgl. die Quelle A 9 3 φαίνεσθαι] γίνεσθαι Friedländer nach A 9 (II 328, 19) 4 πρεσβεύσας] Quelle A 6 6 Ἰνυκόν] Quelle A 7 7 ⟨ἐν⟩ Diels : [τῷ Γοργίᾳ] Kayser. Die Stelle wohl 493 A [oben I 413, 17] 9 Ὀλυμπίαι] Quelle A 12 12 Ἀφαρεὺς] trag. Dichter tätig 368—341, Wilhelm *Urk. dr. Auff.* S. 40 Ἱππίου] Identität mit dem Elier bestritten; s. Blass *Att. Ber.* II 711 13 παίδων ⟨ὧν⟩ Reiske 23 [ἐν] Wilamowitz οὓς Musurus: ὡς Hs. 24 [τοῦ] Musurus 32 δικαστὴν] διαιτητὴν Burges; δοκιμαστὴν Naber; ἀκροατὴν Richards *Cl. Rev.* 15, 298; δίκα⟨ιόν τε κρι⟩τὴν Pearson ebend. 23, 49; διαλλακτὴν Diels

ὄντος [καὶ] πολὺ νεώτερος ὢν ἐν ὀλίγωι χρόνωι πάνυ πλέον ἢ πεντήκοντα καὶ ἑκατὸν μνᾶς εἰργασάμην, καὶ ἐξ ἑνός γε χωρίου πάνυ σμικροῦ Ἰνυκοῦ πλέον ἢ εἴκοσι μνᾶς· καὶ τοῦτο ἐλθὼν οἴκαδε φέρων τῶι πατρὶ ἔδωκα, ὥστε ἐκεῖνον καὶ τοὺς ἄλλους πολίτας θαυμάζειν τε καὶ ἐκπεπλῆχθαι. καὶ σχεδόν τι οἶμαι ἐμὲ πλείω χρήματα εἰργάσθαι ἢ ἄλλους σύνδυο οὕστινας βούλει τῶν σοφιστῶν. Tracht s. 82 A 9.

8. Plato Hipp. min. 363 c [Hippias] καὶ γὰρ ἂν δεινὰ ποιοίην, ὦ Εὔδικε, εἰ Ὀλυμπίαζε μὲν εἰς τὴν τῶν Ἑλλήνων πανήγυριν, ὅταν τὰ Ὀλύμπια ἦι, ἀεὶ ἐπανιὼν οἴκοθεν ἐξ Ἤλιδος εἰς τὸ ἱερὸν παρέχω ἐμαυτὸν καὶ λέγοντα ὅ τι ἂν τις βούληται ὧν ἄν μοι εἰς ἐπίδειξιν παρεσκευασμένον ἦι, καὶ ἀποκρινόμενον τῶι βουλομένωι ὅ τι ἄν τις ἐρωτᾶι, νῦν δὲ τὴν Σωκράτους ἐρώτησιν φύγοιμι . . . 346 a ἐξ οὗ γὰρ ἦργμαι Ὀλυμπίασιν ἀγωνίζεσθαι οὐδενὶ πώποτε κρείττονι εἰς οὐδὲν ἐμαυτοῦ ἐνέτυχον.

9. — Hipp. mai. 286 a [Hippias] Καὶ ναὶ μὰ Δί', ὦ Σώκρατες, περί γε ἐπιτηδευμάτων καλῶν καὶ ἔναγχος αὐτόθι ηὐδοκίμησα διεξιών, ἃ χρὴ τὸν νέον ἐπιτηδεύειν. ἔστι γάρ μοι περὶ αὐτῶν παγκάλως λόγος συγκείμενος, καὶ ἄλλως εὖ διακείμενος καὶ τοῖς ὀνόμασι· πρόσχημα δέ μοί ἐστι καὶ ἀρχὴ τοιάδε τις τοῦ λόγου [vgl. A 2 § 4]· ἐπειδὴ ἡ Τροία ἥλω, λέγει ὁ λόγος, ὅτι Νεοπτόλεμος Νέστορα ἔροιτο, ποῖά ἐστι καλὰ ἐπιτηδεύματα, ἃ ἄν τις ἐπιτηδεύσας νέος ὢν εὐδοκιμώτατος γένοιτο· μετὰ ταῦτα δὴ λέγων ἐστὶν ὁ Νέστωρ καὶ ὑποτιθέμενος αὐτῶι πάμπολλα νόμιμα καὶ πάγκαλα. τοῦτον δὴ καὶ ἐκεῖ [in Sparta] ἐπεδειξάμην καὶ ἐνθάδε [in Athen] μέλλω ἐπιδεικνύναι εἰς τρίτην ἡμέραν ἐν τῶι Φειδοστράτου διδασκαλείωι καὶ ἄλλα πολλὰ καὶ ἄξια ἀκοῆς· ἐδεήθη γάρ μου Εὔδικος ὁ Ἀπημάντου.

10. — Hipp min. 364 c [Hipp.] φημὶ γὰρ Ὅμηρον πεποιηκέναι ἄριστον μὲν ἄνδρα Ἀχιλλέα τῶν εἰς Τροίαν ἀφικομένων, σοφώτατον δὲ Νέστορα, πολυτροπώτατον δὲ Ὀδυσσέα.

11. — Hipp. mai. 285 b [Sokrates und Hippias] ἐπαινοῦσι δὲ δή σε πρὸς θεῶν, ὦ Ἱππία, καὶ χαίρουσιν ἀκούοντες [die Spartaner] ποῖα; ἢ δῆλον δὴ ὅτι ἐκεῖνα ἃ σὺ κάλλιστα ἐπίστασαι, τὰ περὶ τὰ ἄστρα τε καὶ τὰ οὐράνια πάθη; — Οὐδ' ὁπωστιοῦν· ταῦτά γε οὐδ' ἀνέχονται. — Ἀλλὰ περὶ γεωμετρίας τι χαίρουσιν ἀκούοντες; — Οὐδαμῶς, ἐπεὶ οὐδ' ἀριθμῶν ἐκείνων γε ὡς ἔπος εἰπεῖν πολλοὶ ἐπίστανται. — Πολλοῦ ἄρα δέουσιν περί γε λογισμῶν ἀνέχεσθαί σου ἐπιδεικνυμένου. — Πολλοῦ μέντοι, νὴ Δία. — Ἀλλὰ δῆτα ἐκεῖνα ἃ σὺ ἀκριβέστατα ἐπίστασαι ἀνθρώπων διαιρεῖν, περί τε γραμμάτων δυνάμεως καὶ συλλαβῶν καὶ ῥυθμῶν καὶ ἁρμονιῶν; — Περὶ ποίων, ὠγαθέ, ἁρμονιῶν καὶ γραμμάτων; — Ἀλλὰ τί μὴν ἔστιν ἃ ἡδέως σου ἀκροῶνται καὶ ἐπαινοῦσιν; αὐτός μοι εἰπέ, ἐπειδὴ ἐγὼ οὐχ εὑρίσκω. — Περὶ τῶν γενῶν, ὦ Σώκρατες, τῶν τε ἡρώων καὶ τῶν ἀνθρώπων καὶ τῶν κατοικίσεων, ὡς τὸ ἀρχαῖον ἐκτίσθησαν αἱ πόλεις, καὶ συλλήβδην πάσης τῆς ἀρχαιολογίας ἥδιστα ἀκροῶνται, ὥστ' ἔγωγε δι' αὐτοὺς ἠνάγκασμαι ἐκμεμαθηκέναι τε καὶ ἐκμεμελετηκέναι πάντα τὰ τοιαῦτα. — Ναὶ μὰ Δί', ὦ Ἱππία, ηὐτύχηκάς γε, ὅτι Λακεδαιμόνιοι οὐ χαίρουσιν, ἄν τις

---

1 πολὺ F: καὶ πολὺ TW   πάνυ χρόνωι Schanz   9 ὧν] ὅ τι τ' verm. Diels   18 vgl. Isocr. 1, 12; 2, 36; Norden *Herm.* 40 (1905) 522   22 Εὔδικος] Person des Hippias minor   29 vgl. Plato Prot. 315c. 318e (Capelle *Philol.* 71, 1912, 436)   37ff. vgl. Norden *Agnostos Theos* S. 372f.

αὐτοῖς ἀπὸ Σόλωνος τοὺς ἄρχοντας τοὺς ἡμετέρους καταλέγηι· εἰ δὲ μή, πράγματ' ἂν εἶχες ἐκμανθάνων. — Πόθεν, ὦ Σώκρατες; ἅπαξ ἀκούσας πεντήκοντα ὀνόματα ἀπομνημονεύσω. — Ἀληθῆ λέγεις, ἀλλ' ἐγὼ οὐκ ἐνενόησα, ὅτι τὸ μνημονικὸν ἔχεις· ὥστ' ἐννοῶ ὅτι εἰκότως σοι χαίρουσιν οἱ Λακεδαιμόνιοι ἅτε πολλὰ εἰδότι, καὶ χρῶνται ὥσπερ ταῖς πρεσβύτισιν οἱ παῖδες πρὸς τὸ ἡδέως μυθολογῆσαι.

12. — Hipp. min. 368 B πάντως δὲ πλείστας τέχνας πάντων σοφώτατος εἶ ἀνθρώπων, ὡς ἐγώ ποτέ σου ἤκουον μεγαλαυχουμένου πολλὴν σοφίαν καὶ ζηλωτὴν σαυτοῦ διεξιόντος ἐν ἀγορᾶι ἐπὶ ταῖς τραπέζαις. ἔφησθα δὲ ἀφικέσθαι ποτὲ εἰς Ὀλυμπίαν ἃ εἶχες περὶ τὸ σῶμα ἅπαντα σαυτοῦ ἔργα ἔχων· πρῶτον μὲν δακτύλιον (ἐντεῦθεν γὰρ ἤρχου) ὃν εἶχες σαυτοῦ ἔχειν ἔργον ὡς ἐπιστάμενος δακτυλίους γλύφειν καὶ ἄλλην σφραγῖδα σὸν ἔργον, καὶ στλεγγίδα καὶ λήκυθον ἃ αὐτὸς εἰργάσω· ἔπειτα ὑποδήματα ἃ εἶχες ἔφησθα αὐτὸς σκυτοτομῆσαι καὶ τὸ ἱμάτιον ὑφῆναι καὶ τὸν χιτωνίσκον· καὶ ὅ γε πᾶσιν ἔδοξεν ἀτοπώτατον καὶ σοφίας πλείστης ἐπίδειγμα [ἐπειδή], τὴν ζώνην ἔφησθα τοῦ χιτωνίσκου, ἣν εἶχες, εἶναι μὲν οἷαι αἱ Περσικαὶ τῶν πολυτελῶν, ταύτην δὲ αὐτὸς πλέξαι· πρὸς δὲ τούτοις ποιήματα ἔχων ἐλθεῖν καὶ ἔπη καὶ τραγωιδίας καὶ διθυράμβους καὶ καταλογάδην πολλοὺς λόγους καὶ παντοδαποὺς συγκειμένους· καὶ περὶ τῶν τεχνῶν δή, ὧν ἄρτι ἐγὼ ἔλεγον, ἐπιστήμων ἀφικέσθαι διαφερόντως τῶν ἄλλων καὶ περὶ ῥυθμῶν καὶ ἁρμονιῶν καὶ γραμμάτων ὀρθότητος, καὶ ἄλλα ἔτι πρὸς τούτοις πανυ πολλά, ὡς ἐγὼ δοκῶ μνημονεύειν· καίτοι τό γε μνημονικὸν ἐπελαθόμην σου, ὡς ἔοικε, τέχνημα, ἐν ὧι σὺ οἴει λαμπρότατος εἶναι. Vgl. 80 A 26 (II 261, 41).

13. Athen. XI 506 F ἐν δὲ τῶι Μενεξένωι οὐ μόνον Ἱ. ὁ Ἠλεῖος χλευάζεται, ἀλλὰ καὶ ὁ Ῥαμνούσιος Ἀντιφῶν καὶ ὁ μουσικὸς Λάμπρος.

14. Xenoph. Mem. IV 4, 5ff. οἶδα δέ ποτε αὐτὸν [Sokrates] καὶ πρὸς Ἱππίαν τὸν Ἠλεῖον περὶ τοῦ δικαίου τοιάδε διαλεχθέντα. διὰ χρόνου γὰρ ἀφικόμενος ὁ Ἱππίας Ἀθήναζε παρεγένετο τῶι Σωκράτει λέγοντι πρός τινας, ὡς θαυμαστὸν εἴη τό, εἰ μέν τις βούλοιτο σκυτέα διδάξασθαί τινα ἢ τέκτονα ἢ χαλκέα ἢ ἱππέα, μὴ ἀπορεῖν, ὅποι ἂν πέμψας τούτου τύχοι· φασὶ δέ τινες καὶ ἵππον καὶ βοῦν τῶι βουλομένωι δικαίους ποιήσασθαι πάντα μεστὰ εἶναι τῶν διδαξόντων· ἐὰν δέ τις βούληται ἢ αὐτὸς μαθεῖν τὸ δίκαιον ἢ υἱὸν ἢ οἰκέτην διδάξασθαι, μὴ εἰδέναι ὅποι ἂν ἐλθὼν τύχοι τούτου. (6) καὶ ὁ μὲν Ἱ. ἀκούσας ταῦτα ὥσπερ ἐπισκώπτων αὐτόν· Ἔτι γὰρ σύ, ἔφη, ὦ Σώκρατες, ἐκεῖνα τὰ αὐτὰ λέγεις ἃ ἐγὼ πάλαι ποτέ σου ἤκουσα; καὶ ὁ Σωκράτης· Ὃ δέ γε τούτου δεινότερον, ἔφη, ὦ Ἱππία, οὐ μόνον ἀεὶ τὰ αὐτὰ λέγω, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν· σὺ δ' ἴσως διὰ τὸ πολυμαθὴς εἶναι περὶ τῶν αὐτῶν οὐδέποτε τὰ αὐτὰ λέγεις. Ἀμέλει, ἔφη, πειρῶμαι καινόν τι λέγειν ἀεί. (7) Πότερον, ἔφη, καὶ περὶ ὧν ἐπίστασαι; οἷον περὶ γραμμάτων ἐάν τις ἔρηταί σε, πόσα καὶ ποῖα Σωκράτους ἐστίν, ἄλλα μὲν πρότερον, ἄλλα δὲ νῦν πειρᾶι λέγειν; ἢ περὶ ἀριθμῶν τοῖς ἐρωτῶσιν, εἰ τὰ δὶς πέντε δέκα ἐστίν, οὐ τὰ αὐτὰ νῦν ἃ καὶ πρότερον ἀποκρίνει; Περὶ μὲν τούτων, ἔφη, ὦ Σώκρατες, ὥσπερ σύ,

---

15 [ἐπειδή] Ast: ἐπιδεικνὺς Schanz 24 An der Stelle, wo Platon Lampros und Antiphon erwähnt p. 236 A [vgl. II 334, 21], fehlt wie auch sonst in dem Dialoge die Erwähnung des Hippias 30 ὅπῃ Stob. S[MA] 32 εἰδέναι Stob.: εἶναι Hss. ποῖ Stob. 35 entlehnt aus Plato Gorg. 490 E 39 vgl. Plato Alcib. I 113 A (Friedländer)

καὶ ἐγὼ ἀεὶ τὰ αὐτὰ λέγω· περὶ μέντοι τοῦ δικαίου πάνυ οἶμαι νῦν ἔχειν εἰπεῖν, πρὸς ἃ οὔτε σὺ οὔτ' ἂν ἄλλος οὐδεὶς δύναιτ' ἀντειπεῖν.

15. Tertull. Apolog. 46 [in einer Aufzählung der Schandtaten heidnischer Philosophen] *Hippias dum civitati insidias disponit occiditur.*

16. Ammian. Marcell. 16, 5, 8 *si itaque verum est quod scriptores varii memorant, Cyrum regem et Simonidem lyricum et Hippiam Eleum sophistarum acerrimum ideo valuisse memoria, quod epotis quibusdam remediis id impetrarunt* . . . Vgl. A 5a. 11. 12.

---

## B. FRAGMENTE.

### ΙΠΠΙΟΥ ΕΛΕΓΕΙΑ

1. Paus. v 25, 4 [Untergang des messenischen Knabenchores auf der Fahrt nach Rhegion] τότε δὲ ἐπὶ τῆι ἀπωλείαι τῶν παίδων οἱ Μεσσήνιοι πένθος ἦγον, καὶ ἄλλα τέ σφισιν ἐς τιμὴν αὐτῶν ἐξευρέθη καὶ εἰκόνας ἐς Ὀλυμπίαν ἀνέθεσαν χαλκᾶς, σὺν δὲ αὐτοῖς τὸν διδάσκαλον τοῦ χοροῦ καὶ τὸν αὐλητήν. τὸ μὲν δὴ ἐπίγραμμα ἐδήλου τὸ ἀρχαῖον ἀναθήματα εἶναι τῶν ἐν πορθμῶι Μεσσηνίων· χρόνωι δὲ ὕστερον Ἱ. ὁ λεγόμενος ὑπὸ Ἑλλήνων γενέσθαι σοφὸς τὰ ἐλεγεῖα ἐπ' αὐτοῖς ἐποίησεν· ἔργα δέ εἰσιν Ἠλείου Κάλωνος αἱ εἰκόνες.

### ΕΘΝΩΝ ΟΝΟΜΑΣΙΑΙ

2 [FGrHist. 6 F 1 i 156, 34]. Schol. Apoll. iii 1179 [hinter 2 B 1] Ἱ. δὲ ὁ Ἠλεῖος ἐν Ἐθνῶν ὀνομασίαις φησὶν ἔθνος τι καλεῖσθαι Σπαρτοὺς καὶ ὁμοίως Ἀτρόμητος.

### ΟΛΥΜΠΙΟΝΙΚΩΝ ΑΝΑΓΡΑΦΗ

3 [2]. Plut. Num. 1 τοὺς μὲν οὖν χρόνους ἐξακριβῶσαι χαλεπόν ἐστι καὶ μάλιστα τοὺς ἐκ τῶν Ὀλυμπιονικῶν ἀναγομένους, ὧν τὴν ἀναγραφὴν ὀψέ φασιν Ἱππίαν ἐκδοῦναι τὸν Ἠλεῖον ἀπ' οὐδενὸς ὁρμώμενον ἀναγκαίου πρὸς πίστιν.

---

2 ἀντειπεῖν Zeune: ἂν εἰπεῖν Hss.: εἰπεῖν Stob. 4 *Hippias*] Verwechslung Tertullians. Gemeint ist der Peisistratide *insidias* vulg.: *icthydias* A; Text zweifelhaft 18 τὰ ἐλεγεῖα] „d. h. das Epigramm" Wil.* 19 Der Hermes desselben Bildhauers für den Rheginer Glaukias [Paus. v 27, 8] ist nach der Schrift der Basis etwa 420—410 errichtet (Dittenberger) s. Loewy *Inschr. gr. Bildh.* S. 28 n. 33 20 vielleicht Teiltitel der Συναγωγή B 4 22 Ἠλεῖος C. Müller: Δήλιος Hs. 23 Ἀτρ. sonst unbekannt 24 vgl. A. Körte *Herm.* 39 (1904) 230

### ΣΥΝΑΓΩΓΗ

4 [3]. Athen. xiii 608 f ἐπὶ κάλλει δὲ . . . διαβόητοι γεγόνασι γυναῖκες. Θαργηλία ἡ Μιλησία, ἥτις καὶ τεσσαρεσκαίδεκα ἀνδράσιν ἐγαμήθη, οὖσα καὶ τὸ εἶδος πάνυ καλὴ καὶ σοφή, ὥς φησιν Ἱ. ὁ σοφιστὴς ἐν τῶι ἐπιγραφομένωι Συναγωγή. Hesych. Θαργηλία· 'ἔστιν ἡ Θαργηλία Μιλησία μὲν τὸ γένος, εὐπρεπὴς δὲ τὴν ὄψιν καὶ τἆλλα σοφή, ὥστε στρατηγεῖν πόλεις καὶ δυνάστας. διὸ καὶ πλείστοις ἐγήματο τῶν διασημοτάτων.'

### ΤΡΩΙΚΟΣ (ΔΙΑΛΟΓΟΣ)

5 Plato Hipp. mai. 286 a [A 9]. Vgl. A 2 ii 327, 1.

## AUS UNBESTIMMTEN SCHRIFTEN

6 [4]. Clem. Strom. vi 15 [ii 434, 19 St.] φέρε ἄντικρυς μαρτυροῦντα ἡμῖν Ἱππίαν τὸν σοφιστὴν τὸν Ἠλεῖον, ὃς τὸν αὐτὸν περὶ τοῦ προκειμένου μοι σκέμματος ἧκεν λόγον, παραστησώμεθα ὧδέ πως λέγοντα·

τούτων ἴσως εἴρηται τὰ μὲν Ὀρφεῖ, τὰ δὲ Μουσαίωι κατὰ βραχὺ ἄλλωι ἀλλαχοῦ, τὰ δὲ Ἡσιόδωι τὰ δὲ Ὁμήρωι, τὰ δὲ τοῖς ἄλλοις τῶν ποιητῶν, τὰ δὲ ἐν συγγραφαῖς τὰ μὲν Ἕλλησι τὰ δὲ βαρβάροις· ἐγὼ δὲ ἐκ πάντων τούτων τὰ μέγιστα καὶ ὁμόφυλα συνθεὶς τοῦτον καινὸν καὶ πολυειδῆ τὸν λόγον ποιήσομαι.

---

**6.** Hiervon findet sich vielleicht das eine bei Orpheus gesagt, das andere bei Musaios, in aller Kürze, dieses hier, jenes da, das andere bei Hesiod, anderes bei Homer, das andere wieder bei den übrigen Dichtern, und wieder anderes in den Prosaschriften teils bei Hellenen, teils bei Nichthellenen. Ich habe aus all diesem das Größte und Verwandte zusammengestellt und werde daraus diese neuartige, vielgestaltige Schrift machen.

---

1 'τῶν ἐνδόξων γυναικῶν' ergänzte (Z. 5) C. Mueller; 'der Sitten der Völker' Ed. Meyer *Theopomps Hellenika* S. 243, 3   3 Θαργηλία] vgl. Suid. s. v., Plut. Per. 24, Philostr. Ep. 73 (Aeschin. Socr. fr. 6 p. 44 Krauss), Jacoby Kommentar zu F 3   6 nach Diels wörtliches Fragment aus Hipp., doch vgl. Jacoby a. O., Wilamowitz *Platon* II$^{2}$ 25$^{1}$ (»Es widerspricht ἔστιν. Der transitive Gebrauch von στρατηγεῖν ist hier wohl deshalb angewandt, weil der Genitiv (πόλεων) einen falschen Sinn gäbe. Polybios sagt in diesem Sinne καταστρατηγεῖν τινα. Ähnlich ist κρατεῖν τινος und τινα nuanciert.« Diels)   7 πλείστην Hs.: verb. Küster   13 ⟨εἰς⟩ τὸν αὐτὸν Stählin   14 ἧκεν Diels: ἥκειν Hs.: ἥκει Stählin   15 Fr. d. Συναγωγή (Th. Gomperz)?   [κατὰ βραχὺ] Gomperz   15ff. zur Reihenfolge der Autoren vgl. 1 A 5. 68 B 16. 82 B 25   16 ἄλλως Geel; ἄλλωι ⟨ἄλλα⟩ ἀλλαχοῦ stellt n. βαρβάροις (17) Gomperz   17 τὰ δὲ συγγραφεῦσι Gomperz   18 τὰ μάλιστα ὁμόφυλα Nauck: τὰ μέγιστα ⟨ἐκλεξάμενος⟩ καὶ ⟨τὰ μάλιστα⟩ ὁμόφυλα Gomperz

7 [5]. Diog. i 24 über die Lehre des Thales von der Psyche des Alls 11 A 1 (i 68, 10).

8 [10]. Eustath. z. Dionys. Per. 270 Ἱ. ἀπὸ Ἀσίας καὶ Εὐρώπης τῶν Ὠκεανίδων τὰς ἠπείρους [näml. Asien und Europa] καλεῖ.

9 [6]. Hypoth. Soph. Oed. R. v [Schol. ii 12, 11 Dind.] ἴδιον δέ τι πεπόνθασιν οἱ μεθ' Ὅμηρον ποιηταὶ τοὺς πρὸ τῶν Τρωικῶν βασιλεῖς τυράννους προσαγορεύοντες, ὀψέ ποτε τοῦδε τοῦ ὀνόματος εἰς τοὺς Ἕλληνας διαδοθέντος, κατὰ τοὺς Ἀρχιλόχου χρόνους, καθάπερ Ἱ. ὁ σοφιστής φησιν. Ὅμηρος γοῦν τὸν πάντων παρανομώτατον Ἔχετον βασιλέα φησὶ καὶ οὐ τύραννον· 'εἰς Ἔχετον βασιλῆα βροτῶν δηλήμονα' [σ 84]. προσαγορευθῆναι δέ φασι τὸν τύραννον ἀπὸ τῶν Τυρρηνῶν· χαλεποὺς γάρ τινας περὶ λῃστείαν τούτους γενέσθαι.

10. Phrynich. ecl. 312 Lob. παραθήκην Ἱππίαν καὶ Ἴωνά τινα συγγραφέα φασὶν εἰρηκέναι· ἡμεῖς δὲ τοῦτο παρακαταθήκην ἐροῦμεν ὡς Πλάτων καὶ Θουκυδίδης καὶ Δημοσθένης.

11 [7]. Plut. Lyc. 23 αὐτὸν δὲ τὸν Λυκοῦργον Ἱ. μὲν ὁ σοφιστὴς πολεμικώτατόν φησι γενέσθαι καὶ πολλῶν ἔμπειρον στρατειῶν ...

12 [8]. Procl. in Eucl. p. 65, 11 Friedl. [s. oben i 98, 18] μετὰ δὲ τοῦτον [Thales] Μάμερκος ὁ Στησιχόρου τοῦ ποιητοῦ ἀδελφὸς ὡς ἐφαψάμενος τῆς περὶ γεωμετρίας σπουδῆς μνημονεύεται καὶ Ἱ. ὁ Ἠλεῖος ἱστόρησεν ὡς ἐπὶ γεωμετρίαι δόξαν αὐτοῦ λαβόντος.

13 [9]. Schol. Arat. 172 p. 369, 27 Maaß [nach 2 B 18] Ἱ. δὲ καὶ Φερεκύδης [FGrHist. 3 F 90 i 84, 33] ἑπτά [näml. Ὑάδας εἶναι].

14 [11]. Schol. Pind. Pyth. 4, 288 ταύτην [Stiefmutter des Phrixos] δὲ ὁ μὲν Πίνδαρος ἐν Ὕμνοις [fr. 49 Schr.] Δημοδίκην φησίν, Ἱ. δὲ Γοργῶπιν.

15 [12]. — Nem. 7, 53 τρίτην δὲ [Ephyra] περὶ Ἦλιν, ἧς Ἱ. μνημονεύει.

16. Stob. iii 38, 32 Πλουτάρχου ἐκ τοῦ ⟨Περὶ τοῦ⟩ διαβάλλειν. "Ἱ. λέγει δύο εἶναι φθόνους· τὸν μὲν δίκαιον, ὅταν τις τοῖς κακοῖς φθονῆι τιμωμένοις, τὸν δὲ ἄδικον, ὅταν τοῖς ἀγαθοῖς. καὶ διπλᾶ τῶν ἄλλων οἱ φθονεροὶ κακοῦνται· οὐ γὰρ μόνον τοῖς ἰδίοις κακοῖς ἄχθονται ὥσπερ ἐκεῖνοι, ἀλλὰ καὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς.'

17. — — 42, 10 Πλουτάρχου ἐκ τοῦ ⟨Περὶ τοῦ⟩ διαβάλλειν. "Ἱ. φησίν, ὅτι δεινόν ἐστιν ἡ διαβολία, οὕτως ὀνομάζων, ὅτι οὐδὲ τιμωρία τις κατ' αὐτῶν γέγραπται ἐν τοῖς νόμοις ὥσπερ τῶν κλεπτῶν· καίτοι ἄριστον ὂν κτῆμα τὴν φιλίαν κλέπτουσιν, ὥστε ἡ ὕβρις κακοῦργος οὖσα δικαιοτέρα ἐστὶ τῆς διαβολῆς διὰ τὸ μὴ ἀφανὴς εἶναι.'

18 [13]. Vit. Homeri Rom. p. 30, 27 Wil. Ἱ. δ' αὖ καὶ Ἔφορος Κυμαῖον [näml. γεγονέναι φασὶ τὸν Ὅμηρον].

19. Papyr. Petropol. n. 13, col. 2, 11 [ed. Jernstedt *Journ. des Unterrichtsmin.* (russ.) 1901 Oktob. p. 51] ΙΠΠΙΟΥ; Titel nicht erhalten.

---

17. Etwas Unheimliches ist die Verleumdung.

---

3 zu B 2? 12 Ἴωνα] Herodot. VI 73. 86. IX 45 vgl. Phryn. p. 223 16 στρατιῶν L: στρατηγιῶν Reiske 26 ⟨Περὶ τοῦ⟩ Hense oder nach tit. 20, 59 ⟨Περὶ⟩ διαβολῆς vgl. Z. 32 32 ebenso Herod. vii 10 η, Lys. 19, 5, Isocr. 15, 18, alle ein altes Sprichwort wiederholend (Nestle und Aly *Volksmärchen bei Herodot* S. 291 nehmen — nach Diels falsch — Entlehnung aus Hippias an)

## ZWEIFELHAFTES

**20.** Aristot. Poet. 25. 1461a 21 κατὰ δὲ προσωιδίαν [näml. ὁρῶντα δεῖ διαλύειν] ὥσπερ Ἱ. ἔλυεν ὁ Θάσιος τὸ ʻδίδομεν δέ οἱʼ καὶ ʻτὸ μὲν οὗ καταπύθεται ὄμβρωιʼ. Soph. el. 4. 166b 1 παρὰ δὲ τὴν προσωιδίαν ἐν μὲν τοῖς ἄνευ γραφῆς διαλεκτικοῖς οὐ ῥάιδιον ποιῆσαι λόγον, ἐν δὲ τοῖς γεγραμμένοις καὶ ποιήμασι μᾶλλον οἷον καὶ τὸν Ὅμηρον ἔνιοι διορθοῦνται πρὸς τοὺς ἐλέγχοντας ὡς ἀτόπως εἰρηκότα ʻτὸ μὲν οὐ καταπύθεται ὄμβρωιʼ [Ψ 328]. λύουσι γὰρ αὐτὸ τῆι προσωιδίαι λέγοντες τὸ ο͞υ ὀξύτερον· καὶ τὸ περὶ τὸ ἐνύπνιον τοῦ Ἀγαμέμνονος, ὅτι οὐκ αὐτὸς ὁ Ζεὺς εἶπεν ʻδίδομεν δέ οἱ εὖχος ἀρέσθαιʼ [B 15], ἀλλὰ τῶι ἐνυπνίωι ἐνετέλλετο διδόναι.

**21.** Procl. in Eucl. p. 272, 3 Friedl. Νικομήδης μὲν γὰρ ἐκ τῶν κογχοειδῶν γραμμῶν, ὧν καὶ τὴν γένεσιν καὶ τὴν τάξιν καὶ τὰ συμπτώματα παραδέδωκεν, αὐτὸς εὑρετὴς ὢν τῆς ἰδιότητος αὐτῶν πᾶσαν εὐθύγραμμον γωνίαν ἐτριχοτόμησεν. ἕτεροι δὲ ἐκ τῶν Ἱππίου καὶ Νικομήδους τετραγωνιζουσῶν πεποιήκασι τὸ αὐτὸ μικταῖς καὶ οὗτοι χρησάμενοι γραμμαῖς ταῖς τετραγωνιζούσαις.

---

## C. IMITATION

1. Plato Protag. 337cff. μετὰ δὲ τὸν Πρόδικον Ἱ. ὁ σοφὸς εἶπεν· Ὦ ἄνδρες, ἔφη, οἱ παρόντες, ἡγοῦμαι ἐγὼ ὑμᾶς συγγενεῖς τε καὶ οἰκείους καὶ πολίτας ἅπαντας εἶναι φύσει, οὐ νόμωι· τὸ γὰρ ὅμοιον τῶι ὁμοίωι φύσει συγγενές ἐστιν, ὁ δὲ νόμος τύραννος ὢν τῶν ἀνθρώπων πολλὰ παρὰ τὴν φύσιν βιάζεται. ὑμᾶς οὖν αἰσχρὸν τὴν μὲν φύσιν τῶν πραγμάτων εἰδέναι, σοφωτάτους δὲ ὄντας τῶν Ἑλλήνων καὶ κατ' αὐτὸ τοῦτο νῦν συνεληλυθότας τῆς τε Ἑλλάδος εἰς αὐτὸ τὸ πρυτανεῖον τῆς σοφίας καὶ αὐτῆς τῆς πόλεως εἰς τὸν μέγιστον καὶ ὀλβιώτατον οἶκον τόνδε μηδὲν τούτου τοῦ ἀξιώματος ἄξιον ἀποφήνασθαι, ἀλλ' ὥσπερ τοὺς φαυλοτάτους τῶν ἀνθρώπων διαφέρεσθαι ἀλλήλοις. ἐγὼ μὲν οὖν καὶ δέομαι καὶ συμβουλεύω, ὦ Πρωταγόρα τε καὶ Σώκρατες, συμβῆναι ὑμᾶς ὥσπερ ὑπὸ διαιτητῶν ἡμῶν συμβιβαζόντων εἰς τὸ μέσον καὶ μήτε σὲ τὸ ἀκριβὲς τοῦτο εἶδος τῶν διαλόγων ζητεῖν τὸ κατὰ βραχὺ λίαν, εἰ μὴ ἡδὺ Πρωταγόραι, ἀλλ' ἐφεῖναι καὶ χαλάσαι τὰς ἡνίας τοῖς λόγοις, ἵνα μεγαλοπρεπέστεροι καὶ εὐσχημονέστεροι ὑμῖν

---

3 Θάσιος Hss. und [Alex.] d. i. Mich. Ephes. in Soph. el. 33, 27: Ἠλεῖος wahrscheinlich Osann 7. 8 Hipp. akzentuierte also οὗ; vgl. J. Wackernagel *Beitr. z. gr. Akz.* (Basel 1893) S. 9ff. 9 statt Τρώεσσι δὲ κήδε' ἐφῆπται unserer Hss. las Ar. aus Φ 297 δίδομεν κτλ. Hipp. akzentuierte also διδόμεν. Vgl. [Alex.] in Soph. el. 35, 4 14 Identität mit dem Sophisten von Blass bestritten Fleckeisens *Jahrb. f. cl. Phil.* 105 (1872) 28; Apelt *Beitr. z. Gesch. d. gr. Phil.* S. 379. Dagegen Tannery *Hist. d. l. science Hell.* S. 246; Allman *Greek geom.* S. 191, 379[1]. Zur Sache Björnbo *Pauly-Wiss. R.-E.* VIII 1707ff. Heiberg bei Gercke-Norden *Einl. in d. Altertumsw.* I$^2$ 416. Frank *Plato u. d. sog. Pythagor.* S. 236 17ff. vgl. Dümmler *Kl. Schr.* I 205 18 ἡμᾶς Heindorf 23 εἰς τὸ $B^1T$; was richtig ist, wenn ὀλβιώτατον, ⟨τὸν⟩ gelesen wird 29 ἡμῖν apogr.

φαίνωνται, μήτ' αὖ Πρωταγόραν πάντα κάλων ἐκτείναντα, ουρίαι ἐφέντα, φεύγειν εἰς τὸ πέλαγος τῶν λόγων, ἀποκρύψαντα γῆν, ἀλλὰ μέσον τι ἀμφοτέρους τεμεῖν. ὣς οὖν ποιήσετε, καὶ πείθεσθέ μοι ῥαβδοῦχον καὶ ἐπιστάτην καὶ πρύτανιν ἑλέσθαι, ὃς ὑμῖν φυλάξει τὸ μέτριον μῆκος τῶν λόγων ἑκατέρου.

---

# 87 [80]. ANTIPHON DER SOPHIST

## A. LEBEN UND SCHRIFTEN

1. Suid. Ἀντιφῶν Ἀθηναῖος τερατοσκόπος καὶ ἐποποιὸς καὶ σοφιστής· ἐκαλεῖτο δὲ Λογομάγειρος.

Ἀντιφῶν Ἀθηναῖος ὀνειροκρίτης· Περὶ κρίσεως ὀνείρων [B 78—81] ἔγραψεν.

2. Hermog. de id. B 399, 18 R. περὶ δὲ Ἀντιφῶντος λέγοντας ἀνάγκη προειπεῖν, ὅτι καθάπερ ἄλλοι τέ φασιν οὐκ ὀλίγοι καὶ Δίδυμος ὁ γραμματικός, πρὸς δὲ καὶ ἀπὸ ἱστορίας φαίνεται, πλείους μὲν γεγόνασιν Ἀντιφῶντες, δύο δὲ οἱ σοφιστεύσαντες, ὧν καὶ λόγον ἀνάγκη ποιήσασθαι. ὧν εἷς μέν ἐστιν ὁ ῥήτωρ, οὗπερ οἱ φονικοὶ φέρονται λόγοι καὶ ⟨οἱ⟩ δημηγορικοὶ καὶ ὅσοι τούτοις ὅμοιοι, ἕτερος δὲ ὁ καὶ τερατοσκόπος καὶ ὀνειροκρίτης λεγόμενος γενέσθαι, οὗπερ οἵ τε Περὶ τῆς ἀληθείας [B 1—44] εἶναι λέγονται λόγοι καὶ ὁ Περὶ ὁμονοίας [B 44a—71] [καὶ οἱ δημηγορικοὶ] καὶ ὁ Πολιτικός [B 72—77]. ἐγὼ δὲ ἕνεκα μὲν τοῦ διαφόρου τῶν ἐν τοῖς λόγοις τούτοις ἰδεῶν πείθομαι δύο τοὺς Ἀντιφῶντας γενέσθαι (πολὺ γὰρ ὡς ὄντως τὸ παραλλάττον τῶν ἐπιγραφομένων τῆς Ἀληθείας λόγων πρὸς τοὺς λοιπούς), ἕνεκα δὲ τοῦ καὶ παρὰ Πλάτωνι [Menex. p. 236 A] καὶ παρ' ἄλλοις ἱστορουμένου πάλιν οὐ πείθομαι. Θουκυδίδην γὰρ Ἀντιφῶντος εἶναι τοῦ

---

3 ποιήσατε Madvig πίθεσθε Naber Hibeh-Pap. 13 (2. Jahrh. v. Chr.) enınält eine Rede (Anrede ὦ ἄνδρες Ἕλληνες) gegen die behauptete ethische Wirkung der Musik, die Blass mit einer olympischen Rede [A 8] des Hippias identifiziert und auf die er in Verbindung mit A 11 (II 328, 35) auch B 6 bezieht: vage Hypothese (wie Hippias als Quelle Herodots III 38 bei Dümmler *Academic.* S. 249; vgl. Crönert *Herm.* 44, 1909, 508 und Nestle *Philol.* 67, 1908, 568) 5 Das Problem der Verteilung der Schriften auf den „Sophisten" und den „Redner" A. behandelten zuletzt Stenzel *Pauly-Wiss. R.-E.* Suppl. IV 33ff.; Luria *Riv. di filol. n. s.* 4 (1926) 218ff., Altheim *Klio* 20 (1926) 257ff; Aly *Philol.* Suppl. XXI, 3 (1929) 105ff.; Wilamowitz *Glaube d. Hell.* II 217[1]. Vgl. auch Literaturang. zu B 44 7 καὶ ἐποποιός] davon sonst keine Spur 11 Varianten von Pa (Paris. 1983), Pc (Paris. 2977), Va (Vatic. 107), ς (6 geringere Hss.) H. Rabes 15 οἱ Ausgaben: fehlt Hss. nach δημηγορικοὶ hat Va καὶ ὁ πολιτικός: fehlt Pac ς 17 εἶναι Pac ς: fehlt Va ὁ (vor Περὶ) Pa: οἱ Pc: fehlt Va 18 [καὶ οἱ δημηγορικοὶ] tilgte Sauppe, Randverbesserung wegen fehlenden Artikels zu Z. 15; dies zeigt auch die veränderte Stellung Laur. 60, 27 (Lb) καὶ οἱ δημηγορικοὶ καὶ ὁ περὶ ὁμονοίας 21 Plato a. O. μουσικὴν μὲν ὑπὸ Λάμπρου παιδευθείς, ῥητορικὴν δὲ ὑπ' Ἀντιφῶντος τοῦ Ῥαμνουσίου